καὶ ἱερὸς πολλάκις ἔδοξε Φώτιος. Οὐ μόνον ὅτι τοὺς τῆς ἱερᾶς ἐκκλησίας ἐμπιστευθεὶς οἴακας, τὸ τοῦ Χριστοῦ λογικὸν ποίμνιον εἰς νομὰς εἰσῆγέ τε καὶ ἐξῆγε σωτηριώδεις, εὐσεβείᾳ τε τῇ πάνυ διατρέφων καὶ βίου κατακαλλύνων ὀρθότητι· ἀλλ᾽ ὅτι καὶ πᾶσαν μετελθὼν παιδείαν, πάντας τοὺς ἐπ᾽ αὐτοῦ πολλῷ τῷ μέσῳ ὑπερηκόντισε. Μαρτυροῦσιν αὐτοῦ τὸ πολὺ τῆς σοφίας οἱ πανηγυρικοὶ τῶν λόγων, οἷς τηλικαύτην ἐνέθηκε τὴν χάριν καὶ τὴν γλυκύτητα ὡς δεινὸν τιθέσθαι τοὺς ἐντυγχάνοντας τὴν ὁπωσοῦν ἀπὸ τούτων ἀπαλλαγήν. Οὕτω τὰς τῶν ἀκουόντων καταθέλγει ψυχὰς ταῖς τῶν οἰκείων σειρήνων σωστικαῖς ἐπῳδαῖς καὶ τῷ τῶν πίστεων ἐφελκυστικῷ τὸ τῆς πειθοῦς αὐταῖς ἐγγεννᾶσθαι καταναγκάζει θέλγητρον. Τοιαῦται καὶ αἱ θαυμασταὶ τούτου πρὸς διαφόρους ἐπιστολαί· τὸ δὲ πρὸς τὰς τῶν ἀποριῶν λύσεις ἕτοιμον, ἄλλως τε καὶ ὅσαι ἐπὶ τὴν ἱερὰν τείνουσι φιλοσοφίαν, καὶ τὸ τῆς θείας γραφῆς, ἐν οἷς μάλιστα μυστικώτερόν τι ἐναποκέκρυπται ἀγχίνουν τε καὶ διερμηνευτικόν, τίς τῷ τῶν Ἀμφιλοχίων αὐτῷ πεπονημένῳ συγγράμματι ἐντυχὼν οὐκ ἂν εἰκότως θαυμάσειεν; Ἀλλὰ γὰρ καὶ τὴν περὶ τὴν ἱστορίαν ἀκρίβειαν, καὶ τὸ τῆς σοφίας ποικίλον, καὶ τὸ περὶ τὴν κρίσιν τῶν τοῖς ἄλλοις συντεθειμένων ἔντεχνόν τε ἅμα καὶ εὐκρινέστατον, ἡ μετὰ χεῖρας αὕτη βίβλος τοῖς τοῦτ᾽ ἂν ἑλομένοις καταμαθεῖν ἐπιδείξει τρανώτατα· πολλὴν μὲν τοῖς περὶ τοὺς λόγους καὶ τὴν ἔξω φιλοσοφίαν καταγινομένοις τὴν ὠφέλειαν προξενοῦσα· τοσαύτην δὲ καὶ τοῖς τῆς ἱερᾶς ἀντεχομένοις θρησκείας χορηγοῦσα τὴν λυσιτέλειαν ὡς πάμφορόν τινα οἷον ταύτην εἶναι χώραν, ποικίλοις μὲν κομῶσαν τοῖς καρποῖς καὶ τοῖς ἄνθεσιν, οὐχ ἧττον δὲ τῇ γεύσει τῶν δρεπομένων τὴν αἴσθησιν κορεννῦσαν ἢ τῇ ὄψει καὶ τῇ ὀσμῇ καθηδύνουσάν τε καὶ κατατέρπουσαν. Ταύτην οὖν φιλοφρόνως δεξάμενοι πολλὰς τῷ σοφωτάτῳ Ἐσχελίῳ τὰς χάριτας ἔχοιτε, τοῦτο καὶ μόνον ἀεὶ διὰ μελέτης ἔχοντι ὅπως χρήσιμόν τι καὶ τῷ κοινῷ τῶν λογίων ἐπωφελὲς ἐκδιδῶται καὶ μάλιστα. Ἔρρωσθε ἐν Χριστῷ σωτῆρι.

Κατὰ τὸ αχον ἔτος τὸ σωτήριον, ἰουλίου τρίτῃ φθίνοντος.

Bibliothèque nationale de Paris : Q 1.